Ακαδημία Αθηνών / Academy of Athens



*κληρονόμοις καί διαδόχοις αὐτῶν ... Καί ἵνα κατά τοῦ παρόντος ἐγγράφου μή πϊήσουν ἤ ἐλθοῦσιν οὐδέποτε τόν μέλλοντα κερῶν κατεναντίας αὐτῶ, ὑπεσχέθησαν διά μέρος αὐτῶν καί τῶν κληρονόμων αὐτῶν εἰς πϊνήν καί ὑποπϊνῆς ἡπέρπιρων πεντήκοντα, τήν μέν ἥμησιν ἐκ ταύτης τῆς πινῆς ζημηοῦσθω ὁ μή στέργων πρός τό μέρος τό στέργοντι τήν δέ ἑτέραν ἥμησϊν εἰς τήν δουκϊκήν καί αὐθεντικήν ἡμῶν κόρτην. Καί τῆς πϊνῆς ταύτης πληρουμένης ἡ καί ἀπληρότου ἡ χαριτομένης αφεθίσης, τό παρόν ἔγγραφον μενέτω ἐν τι αὐτοῦ εἰσχύϊ στερεῶν καί ἀπαρασάλευτον. Ἐπϊ τούτης καί σωματικῶς ὅρκον ἐπίησαν εἰς τά ἅγια τοῦ Θεοῦ εὐαγγέλια ἔμπροσθεν εἰς τήν αὐλήν κυρ Ἰωάννου τοῦ Καβάσιλλα, εἰς χορίον τοῦ Παλεοχορίου νήσου Κορυφῶν, τοῦ ἔχην, κρατῆν καί στέργην τό παρόν νομϊκᾶτον ἔγγραφον στερεῶν, ἀλλιθές καί ἀπαρασάλευτον. Ἔτσι δέ ὁ προηρϊμένος κυρ Ἰωάννης ὁ Καβάσηλας, Γεώργιος καί ἡ μήτηρ αὐτοῦ Σταματοῦ ἀπετάγϊσαν παραγραφάς φόβου, δόλου καί δηναστίας, λύμπελλον καί περίκουλλον καί παντίαν ἑτέραν δϊκην τήν βοηθοῦσαν αὐτῶν, καί τόν νόμον τόν λέγοντα ὅτι γϊνεκῆ ἀπόταξης μή χριζέτω. Ἔτι καί πᾶσας τάς ἐξόδους ἅσπερ ἔμελεν πϊήση ὁ στέργων πρός τό μέρος τό μή στέργοντι ἐν κόρτη ἤ ἔξοθεν κόρτης δϊκεω ἐγκαλεσμῶ καί αὐτό ζημιοθήσεται ἦσα χορής λόγου καί προφάσεος ...».*

## 6α

1395-1496. Νοταριακά έγγραφα. Μεθώνη, Ναύπακτος, Πάτρα.

E. Gerland, *Neue Quellen zur Geschichte des lateinischen Erzbistums Patras*, Leipzig 1903, σ. 181-184 αρ. 6.5-6.6, σ. 194-197 αρ. 6.10-6.11, σ. 217-218 αρ. 6.18, σ. 235-241 αρ. 6.27-6.28.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΔΩΡΕΑ ΕΝ ΖΩΗ

*1397, 5 Μαΐου*

*«Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀμήν.*
*Κωνσταντῖνος ἱερεὺς ὁ Τοῦρας ἀμπέλιον ἔχων εἰς τὸν Λόγκον φράγγον εἰς τόπον τῆς κούρτης διὰ δεκατίαν καὶ μόνην· ὁποῖον ἀμπέλιον καὶ πᾶν, εἴτι δίκαιον ἔχω ἐν αὐτῷ, μὴ ἔκ τινος βίας ἢ ἀνάγκης, ἀλλ᾽ ἐξ οἰκείου μου καλοῦ καὶ εὐδιαθέτου θελήματός τε καὶ προαιρέσεως ἐπιδίδωμι χάριν ψυχικῆς μου σωτηρίας καὶ μνημοσύνου μου πρὸς Νικόλαον τὸν υἱὸν Ἰωάννου τοῦ Ἀλληλούια, ἅτε δὴ γράμματα μυούμενος καὶ ἐν προσδοκίᾳ ἱερωσύνης καραδοκούμενος. ἐπιδίδωμι δὲ εἰς κληρονομίαν αὐτοῦ διηνεκῆ καὶ ἀναφαίρετον, ἵν᾽ ἀπεντεῦθεν ἔχει καὶ οἰκοδεσποτεῖ καὶ νέμεται ὡς οἰκεῖον κτῆμα καὶ ἰδιαίτατον, καὶ τὴν ἐξ αὐτοῦ πᾶσαν καὶ παντοίαν εἰσφορὰν καὶ ἐπικαρπίαν ἀπολαμβάνειν ὡς ἴδιος καὶ γνήσιος οἰκοκύριος, ἔτι δὲ ἐπ᾽ ἀδείας καὶ ἐλευθερίας ἔχειν, κατέχειν, πωλεῖν, χαρίζειν, προικοδοτεῖν, εἰς θείους καὶ ἱεροὺς ναοὺς ἀφιερεῖν, ὑπὲρ ψυχικῆς σωτηρίας διδόναι καὶ ἁπλῶς εἰπεῖν, ποιεῖν ἐπ᾽ αὐτῷ, εἴτι ἄρα καὶ βούλεται, καθὼς οἱ θεῖοι καὶ ἱεροὶ νόμοι διαγορεύουσι τοῖς δεσπόταις ποιεῖν ἐν τοῖς αὐτῶν κτήμασί τε καὶ πράγμασι· μὴ παρά τινος τὸ σύνολον κωλυόμενος ἢ τὸ τυχὸν ἐμποδιζόμενος. εἰ δέ ποτε καιροῖς ἢ χρόνοις μετάμελος ἐγενόμην ἐγὼ ἤ τις ἄλλος ἀντὶ ἐμοῦ ἢ τῶν ἐξ ἐμοῦ καὶ ἠβουλήθημεν ἐνοχλῆσαι ἢ ἀνακράξαι τὸν εἰρημένον Νικόλαον ἢ τοὺς κληρονομοδιαδόχους αὐτοῦ ἕνεκεν τοῦ τοιοῦδε ἀμπελίου εἰς τὸ ἐξῶσαι αὐτούς, οὐ μόνον ἵνα μὴ εἰσηκουώμεθεν, ἀλλὰ καὶ ἀπὸ παντὸς συλλόγου καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*κριτηρίου ἐκδιωκώμεθεν καὶ ἐμένωμεν κατακεκριμμένοι· πρὸς τούτοις νὰ ἐπίπτωμεν καὶ εἰς ποινὴν ὑπερπέρων ἑκατὸν, τὰ ἥμιση εἰς τὴν κούρτην τοῦ αὐθέντου τοῦ μητροπολίτου καὶ τὰ ἥμιση εἰς τὴν μερίαν, καὶ πάλιν τὸ δίκαιον νὰ εἶχεν ὁ εἰρημένος Νικόλαος ἐν τῷ δηλωθέντι ἀμπελῶνι καὶ οἱ κληρονομοδιάδοχοι αὐτοῦ μετὰ πάσης πληροφορίας. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα ἐγένετο ἐν τῷ ἀπὸ Χριστοῦ γεννήσεως ἔτει ατϛζ, ἰνδικτιῶνος ε̅, ἐν μηνὶ Μαΐῳ ε̅ ἐνώπιον καὶ μαρτύρων Μανουὴλ τοῦ Θεριανοῦ, Κωνσταντίνου τοῦ Λαυρακοστόμου, Ἀλισάνδρου τοῦ Κακωνὰ, Ντεφρὲ τοῦ Θεοδωριτζοπούλου, Νικολάου καὶ Ἰωάννου τῶν Ἀλισανδροπούλων καὶ Ἀνδρέου τοῦ Ληστοπούλου. ὅπερ καὶ ἐβουλλώθη μετὰ τῆς ἡμετέρας βούλλης καὶ ἐπεδόθη τῷ ἄνωθεν ἤδη διαληφθέντι Νικολάῳ τῷ υἱῷ Ἰωάννου τοῦ Ἀλληλούια εἰς βεβαίωσιν καὶ σύστασιν αὐτοῦ καὶ πάντων τῶν ὁρώντων καὶ ἀκουόντων ἀσφάλειαν.*

*(Σημεῖον νομικοῦ.) Καὶ ἐγὼ Θεόδωρος ἱερεὺς ὁ Πίγκης, ἐξ αὐθεντικῆς δυνάμεως νομικὸς ὢν Παλαιῶν Πατρῶν, ταῦτα πάντα οἰκείᾳ μου χειρὶ ἔγραψα καὶ ὑπέγραψα καὶ δῆλα τοῖς πᾶσιν ἐποιησάμην καὶ διὰ τοῦ παρόντος μου τοῦδε σημείου ἐπεσφραγισάμην παρακληθεὶς ὑπ᾽ αὐτῶν».*

### *ΠΑΚΤΩΣΗ*

***1404**, 9 Ἰανουαρίου*

*«Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀμήν.*

*Γαλβάν[ο] δὲ Στάμπις ἐξάμπελον εὑρὼν εἰς τὸ σταθμὸν, ὅπερ κατέχω, τὸ λεγόμενον Παλουκιάνικον, ὅπερ ἐπεκράτει Ἰωάννης ὁ Ἀλληλούιας, τῷ χρόνῳ ἤδη διαφθαρὲν καὶ εἰς ἀπορίαν ἀποκλίναντα καὶ διὰ τοῦτο καὶ ἔστρεψεν αὐτὸ πρὸς με, διὰ οὐδέν τον ἀβαντζάριζεν. ἐγὼ δὲ διὰ τὸ συμφέρον τῆς εἰρημένης στάλης καὶ ἵνα μὴ τελέως ἐρημωθῇ καὶ ἀσύμφορον διατελῇ, πακτόνω αὐτὸ πρὸς τὸν εἰρημένον Ἰωάννην τὸν Ἀλληλούια, ὡς ἵνα ἐπιμεληθῇ καὶ καλλιεργήσῃ καὶ ἀναστήσῃ αὐτὸ, καὶ ἔχειν ἐν κληρονομήματι αὐτοῦ ἀναφαιρέτῳ, ἐπιδίδειν τε κατ᾽ ἔτος πρός με καὶ τοὺς ἐμοὺς διαδόχους ἕνεκεν τούτου τῇ ἑορτῇ τοῦ μεγάλου πάσχα κριὸν ἕνα καὶ οὐχὶ πλέον, πληροῖν δὲ καὶ τὴν δεκατίαν μόνος ἀπὸ τῆς ἐπικαρπίας τοῦ ἀμπελίου εἰς τὴν κούρτην· ἀπὸ δὲ τὰς εὑρισκομένας ἐλαίας ἀρτίως καὶ δένδρα ἕτερα, ἵνα μεριζώμεθεν αὐτὰ ἐξ ἴσου· εἰ δὲ καὶ προσαναστήσῃ ἕτερα δένδρα ἐκεῖσε αὐτὸς, νὰ εἶναι διὰ λόγου του εἰς τὴν νουμὴν καὶ κατάστασιν τοῦ ἀμπελίου. καὶ ἰδοὺ ἀπὸ τοῦ νῦν ἔχει ὁ δηλωθεὶς Ἰωάννης ὁ Ἀλληλούιας τὸ αὐτὸ ἐξάμπελον κατὰ τὴν ἄνωθεν περιλογὴν ἐν παντοίᾳ αὐτοῦ δεσποτείᾳ καὶ κυριότητι, ὥστε κατέχειν καὶ οἰκοδεσποτεῖν αὐτὸ ἐν κληρονομήματι διηνεκῆ καὶ τὴν ἐξ αὐτοῦ πᾶσαν καὶ παντοίαν πρόσοδον καὶ ἐπικαρπίαν ἀπολαμβάνειν ἐλευθερίως ὡς οἰκεῖον κτῆμα καὶ ἰδιαίτατον, ἀρκούμενος εἰς τὴν ἄνωθεν συμπεφωνημένην νουμὴν τοῦ ἑνὸς κριοῦ κατ᾽ ἔτος ἐν τῷ μεγάλῳ πάσχᾳ καὶ τῆς δεκατίας ἐν τῇ κούρτῃ, μὴ πλέον παρά τινος συνωθούμενος ἢ ἀπαιτούμενος, ἀλλ᾽ ἐν τούτοις διαμένειν ἀνενόχλητος πάντα καὶ ἀνεπηρέαστος, ἔχων παντοίαν ἄδειαν καὶ ἐξουσίαν μετὰ τοῦ κατέχειν, ἔτι καὶ πωλεῖν, χαρίζειν, προικοδοτεῖν, ἀντικαταλλάττειν, εἰς θείους κ. τ. λ. οὗ δὴ χάριν καὶ τὸ παρὸν γράμμα γεγονέναι ἐποίησα ἐν τῷ ἀπὸ Χριστοῦ γεννήσεως ἔτει αυδ, ἰνδικτιῶνος ιβ̅, ἐν μηνὶ Ἰαννουαρίου θ̅, ἐνώπιον καὶ μαρτύρων Κωνσταντίνου τοῦ Λαυρακοστόμου, Κωνσταντίνου τοῦ Σπανοπούλου, Ματθαίου ντὲ Κανιὸτ, Νικολάου τοῦ Πίγκη καὶ ἑτέρων τῶν ἐκεῖσε εὑρεθέντων. ὅπερ καὶ ἐβουλλώθη μετὰ τῆς ἡμετέρας βούλλης καὶ ἐπεδόθη τῷ ἄνωθεν ἤδη διαληφθέντι Ἰωάννῃ τῷ Ἀλληλούιᾳ εἰς σύστασιν*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*αὐτοῦ καὶ διαμονὴν διηνεκῆ, βεβαίωσίν τε καὶ ἀσφάλειαν ἀναμφί[λεκτ]ον πάντων τῶν τὰ τοιαῦτα ὁρώντων καὶ ἀκουόντων.*
*(Σημεῖον τοῦ νομικοῦ.) Καὶ ἐγὼ Θεόδωρος ἱερεὺς ὁ Πίγκης ἐξ αὐθεντικῆς δυνάμεως νομικὸς ὢν Παλαιῶν Πατρῶν ταῦτα πάντα οἰκείᾳ μου χειρὶ ἔγραψα καὶ ὑπέγραψα καὶ δῆλα τοῖς πᾶσιν ἐποιησάμην καὶ διὰ τοῦ παρόντος μου τοῦδε σημείου ἐπεσφραγισάμην παρακληθεὶς ὑπ' αὐτῶν».*

### ΧΡΕΩΣΤΙΚΟ ΟΜΟΛΟΓΟ ΜΕ ΣΥΣΤΑΣΗ ΓΕΝΙΚΗΣ ΥΠΟΘΗΚΗΣ ΕΠΙ ΤΗΣ ΠΕΡΙΟΥΣΙΑΣ ΤΟΥ ΟΦΕΙΛΕΤΗ ΚΑΙ ΤΩΝ ΤΕΚΝΩΝ ΤΟΥ

*1496, 1η Μαΐου*

*«† Ἐν ὀνόματι τοῦ Χριστοῦ ἀμήν. ͵αυϛϛ, ἰνδικτιῶνος ιδ, Μαΐου α, εἰς τὴν Ναύπακτον ἤγουν εἰς τὸν λιμένα.*
*Παρῆσαν σωματικῶς μῖκῦρ Ἀνδρέας δεϊ Φραντζέσι ὁ ἀπὸ τῆς Μεθώνης, νῦν δὲ εὑρισκόμενος ἐν Ναυπάκτῳ, καὶ κῦρ Γεώργιος ὁ Μελέτης ὁ ἀπὸ τὸ Ἀνάπλιον. εἶπε δὲ ὁ εἰρημένος μῖκῦρ Ἀνδρέας δεϊ Φραντζέσι, ὅτι ὡς ἐπίτροπος, [ὅπου ἔνι] τοῦ μῖκῦρ Ἀντωνίου Τέστα τοῦ ποτε μῖκῦρ Ἰάκουμου, κατὰ πῶς φαίνεται ἡ ἐπιτροπικὴ ἀπὸ τὸ ῥίζι μὲν τὸ τοῦ Ἀναπλίου, γινομένη εἰς τὰς κη τοῦ νῦν παρελθόντος Ἀπριλλίου εἰς τὸ Ἀνάπλιον, γυρεύοντας τὸν εἰρημένον κῦρ Γεώργιον [τὸν] Μελέτην φλωρία ἐνενῆντα ἓξ καὶ ἄσπρα σαράντα τρία, ὅπου χρεωστεῖ τὸν εἰρημένον μῖκῦρ Ἀντώνιον Τέστα. ὁποῖά εἰσι δι' ἄριστον ἀπολογαριασμόν, ὅπου εἶχαν ἀντάμα, νὰ κάμουν. εἶπε δὲ ὁ εἰρημένος κῦρ Γεώργιος Μελέτης, ὅτι διὰ τῶν εἰρημένων ἄνωθεν φλωρίων τῶν ἐνενήντα ἓξ καὶ ἄσπρων σαράντα τριῶν ὀμπλιγάρεται αὐτὸς καὶ ὀμπλιγάρει καὶ πάντα τὰ καλὰ τὰ κινητὰ καὶ ἀκίνητα, ὅθεν εὑρίσκονται, καὶ τοὺς χρεωφειλέτας αὐτοῦ τοὺς εὑρισκομένους εἰς τὸ Ἀνάπλιον, εἰς τὴν Ἀθῆνα καὶ ἀλλαχοῦ, ὅπου ἔχει πράγματα καὶ χρεωφειλέτας. οὕτως ὀμπλιγάρει ἀκόμα καὶ τὰ παιδία του· ὁμοῦ τὰ καθόλου γεγραμμένα ὀμπλιγάρει ἕως τελείαν ἀποπληρωμὴν καὶ ἐξόφλησιν τῶν εἰρημένων ἐνενῆντα ἓξ φλωρίων καὶ τῶν σαράντα τριῶν ἄσπρων. ὁποῖον χρέος νὰ ὀφείλῃ ὁ εἰρημένος κῦρ Γεώργιος ὁ Μελέτης, νὰ πληρώσῃ καὶ νὰ ἐξοφλήσῃ αὐτὸ πρὸς τὸν εἰρημένον ἄνωθεν μῖκῦρ Ἀντώνιον Τέστα δι' ὅλου τοῦ νῦν ἐρχομένου Σεπτεμβρίου, δίδοντας κατὰ τὸ παρὸν ὁ εἰρημένος κῦρ Γεώργιος ὁ Μελέτης ἤγουν τοῦ μῖκῦρ Ἀνδρέου ντεϊ Φραντζέσι, ὡς ἐπίτροπος, ὅπου ἔνι, φλωρία εἴκοσι. ἅτινα εἴκοσι φλωρία ἔλαβεν ταῦτα ὁ μῖκῦρ Ἀνδρέας ντεϊ Φραντζέσι. τὰ δὲ ἐναπολειφθέντα νὰ δώσῃ καὶ νὰ πληρώσῃ αὐτὰ εἰς τὸ ἄνωθεν γεγραμμένον τέρμινον. [εἰ δὲ οὐδὲν πληρώσει αὐτὰ εἰς τὸ εἰ(ρημέν)ον τέρμινον], νὰ ἔχῃ πᾶσαν ἄδειαν ὁ εἰρημένος μῖκῦρ Ἀντώνιος Τέστας, νὰ σφίξῃ καὶ νὰ στρέψῃ καὶ νὰ περιορίσῃ τοῦ εἰρημένου κῦρ Γεωργίου τοῦ Μελέτου τὰ παντοῖα καλὰ αὐτοῦ, τὰ ἄνωθεν εἰρημένα, ὅθεν εὑρίσκονται. ἔτι εἶπεν ὁ εἰρημένος κῦρ Γεώργιος ὁ Μελέτης ὁ ἀπὸ τὸ Ἀνάπλιον, ὅτι ἔστοντας εἰς τὸ Ἀνάπλιον ὁ εἰρημένος κῦρ Γεώργιος ὁ Μελέτης εἶπεν ἐκεῖσε ἔμπροσθεν παρακαλεσμένων μαρτύρων, τοῦ εὐγενοῦς μῖκῦρ Ἀγγέλου Κερίνη καὶ κῦρ Λινάρδου τοῦ Μεντζολὰ, ὅπως ὀμπλιγάρησεν ἐκεῖ εἰς τὸ Ἀνάπλιον τοῦ εἰρημένου μῖκῦρ Ἀντωνίου Τέστα τὰ καθόλου αὐτοῦ σπαρτὰ, ὅθεν εὑρίσκονται, ἔτι τε καὶ τοὺς χρεωφειλέτας αὐτοῦ. αἱ ὁποῖαι ὀμπλιγατζιόνες θέλει καὶ στέργει καὶ βεβαιοῖ ὁ εἰρημένος κῦρ Γεώργιος ὁ Μελέτης, [καὶ] ἐκείνην, ὅπου εἶπεν εἰς τὸ Ἀνάπλιον, καὶ ταύτην, ἣν ἐποίησεν εἰς τὴν Ναύπακτον.*
*Εἰς ἀσφάλειαν ἐποίησεν τὸ παρὸν γράμμα ἐν Ναυπάκτῳ, ἐνώπιον καὶ παρακληθέντων μαρτύρων, κῦρ Χριστόφαλου Φαλιερ, κῦρ Γεωργίου τοῦ Γκρεκοπούλου καὶ κῦρ Νικολάου τοῦ Βορίσῃ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*(Σημεῖον τοῦ νοταρίου.) Ἰωάννης ὁ Ἀργνὶ τῇ δυνάμει δεσποτικῇ νοτάριος ὢν φανερὸς ἔγραψα καὶ ὑπέγραψα ἐν Ναυπάκτῳ, ἐν ᾧ ἐτέθη καὶ τὸ παρὸν σημεῖον ...»*

**7**

1400-1494. Νοταριακές πράξεις. Κέρκυρα.

Σ. Καρύδης, «Ἀντίγραφα νοταριακῶν πράξεων τοῦ 15ου αἰ. στὰ κατάστιχα τοῦ Κερκυραίου νοταρίου ἱερέα Σταματίου Κοντομάρη», *Παρνασσὸς* 41 (1999), σ. 164 -169, αρ. 1-3.

**8**

1414-1789. Νοταριακές πράξεις. Κέρκυρα.

Χρύσα Μαλτέζου, «Ἀρχειακὲς μαρτυρίες γιὰ πέντε μεταβυζαντινοὺς ναοὺς τῆς Κέρκυρας», στον τόμο *Εὐφρόσυνον*, τ. I, σ. 316-319.

**9**

1417. Διαθήκη (ιδιωτικό δικαιοπρακτικό έγγραφο). Κρήτη.

E. Legrand, «Testament de Nil Damilas», *Revue des Études Grecques* 4 (1891), σ. 180-181.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**9α**

1430. Διαταγή οθωμανού αξιωματούχου. Ιωάννινα.

A. Rigo, «Lo Horismòs di Sinân Pascià, la presa di Ioannina (1430) e la «lettera» del sultano Murâd II», *Θησαυρίσματα* 28 (1998), σ. 62.

**9β**

1432. Νοταριακό έγγραφο. Κέρκυρα.

Σ. Ασωνίτης, «Έγγραφα αναφερόμενα στην εκκλησιαστική περιουσία στην Παλαιόπολη της Κέρκυρας κατά το 14ο και 15ο αι.», *Έῴα καὶ Ἑσπέρια* 3 (1996-1997), σ. 29-32, αρ. 3.

**10**

1436. Διαθήκη (ιδιωτικό δικαιοπρακτικό έγγραφο). Χάνδακας.

Μ. Μανούσακας, «Ἡ διαθήκη του Ἄγγελου Ἀκοτάντου 1436, ἀγνώστου Κρητικοῦ ζωγράφου», *ΔΧΑΕ* 2 (1960-1961), σ. 146-149, αρ. 2.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ